# Ἠδωνοί (οἱ) Θρ. ἔθνος.

«Ἔθνεα δὲ Θρηίκων, δι' ὧν τῆς χώρης ὁδὸν ἐποιέετο (Ξέρξης). τοσάδε, Παῖτοι, Κίκονες, Βίζονες, Σαπαῖοι, Δερσαῖοι, Ἠδωνοί, Σάτραι. Ἡροδ. VII 110 Σελ. 168.

ἄρα οἱ Βίζονες ἐν Ἡροδότου συγγραφῇ.

«Θ. μὲν δὴ Ἱστιαῖος, ἅτε τυραννεύων τῆς Μιλήτου, τυραννίδος μὲν οὐδεμιῆς προσχρήιζε, αἰτέει δὲ Μύρκινον τὴν Ἠδωνίδα βουλόμενος ἐν αὐτῇ πόλιν κτίσαι.» " V. 11 Σελ. 4.

ἄρα Μύρκινος ἐν Ἡροδότου συγγραφῇ.

«εἴτε δὴ ὦν ἐς Σαρδὼ ἐκ τοῦ τόπου τούτου ἄγοι ἐς ἀποικίην εἴτε ἐς Μύρκινον τὴν Ἠδωνῶν τὴν Ἱστιαῖος ἐτείχεε παρὰ Δαρείου δωρεὴν λαβών. " V. 124 Σελ. 59

Φαρμακεύσαντες δὲ (οἱ Μάγοι) ταῦτα (;) ἐς τὸν ποταμὸν καὶ ἄλλα πολλὰ πρὸς τούτοισι ἐν Ἐννέα ὁδοῖσι τῇσι Ἠδωνῶν ἐπορεύοντο κατὰ τὰς γεφύρας τὸν Στρυμόνα εὑρόντες ἐζευγμένον.» " VII. 114

Αὐτὸν δὲ Σωφάνεα (Ἀθηναῖον) χρόνῳ ὕστερον τούτων κατέλαβε ἄνδρα γενόμενον ἀγαθόν, Ἀθηναίων στρατηγέοντα ἅμα Λεάγρῳ τῷ Γλαύκωνος, ἀποθανεῖν ὑπὸ Ἠδωνῶν ἐν Δάτῳ περὶ τῶν μετάλλων τῶν χρυσέων μαχόμενον.» " IX 75 Σελ. 324.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

366

# Ἠδωνοί.

Στράβων Ζ. σελ 465 Ἔστι δ᾽ ἡ χώρα ἡ πρὸς τὸ Στρυμόνος στόμα, ἡ μὲν ἐπὶ θαλάττῃ, ἡ δὲ τοῖς περὶ Δάτον τόποις Ὀδόμαντες καὶ Ἠδωνοὶ καὶ Βισάλται, οἵ τε αὐτόχθονες καὶ οἱ ἐκ Μακεδονίας διαβάντες, ἐν οἷς Ῥῆσος ἐβασίλευσεν. - -

Εὐριπ. Ἑκάβη 1151-1156 Πολυμήστωρ (πρὸς τὸν Ἀγαμέμνονα).
Διηγεῖται πῶς ἐφόνευσαν τὰ τέκνα του καὶ ἐτύφλωσαν αὐτόν.

« πολλαὶ δὲ χειρός, αἱ μὲν ἐξ ἀριστερᾶς
αἱ δ᾽ ἔνθεν, ὡς δὴ παρὰ φίλῳ, Τρῳάδων κόραι
θάκουν ἔχουσαι, κερκίδ᾽ Ἠδωνῆς χερὸς
ᾔνουν, ὑπ᾽ αὐγὰς τούσδε λεύσσουσαι πέπλους·
ἄλλαι δὲ κάμακα Θρῃκίαν θεώμεναι
γυμνόν μ᾽ ἔθηκαν διπτύχου στολίσματος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ηδῶνες. Ηδωνοί (οἱ).

Επὶ δὲ Στρυμόνα πέμψαντες (Αθηναῖοι) μυρίους Θουκ. Ι 100.
οἰκήτορας αὐτῶν καὶ τῶν ξυμμάχων ὑπὸ τοὺς αὐ- Σελ. 60.
τοὺς χρόνους, ὡς οἰκιοῦντες τὰς τότε καλουμένας Ἐννέ-
α ὁδούς, νῦν δὲ Ἀμφίπολιν, τῶν μὲν Ἐννέα ὁδῶν
αὐτοὶ ἐκράτησαν, ἃς εἶχον Ἠδωνοί, προελθόντες
δὲ τῆς Θράκης ἐς μεσόγειαν διεφθάρησαν ἐν Δρα-
βησκῷ τῇ Ἠδωνικῇ ὑπὸ τῶν Θρᾳκῶν ξυμπάν-
των, οἷς πολέμιον ἦν τὸ χωρίον αἱ Ἐννέα ὁδοὶ
κτιζόμενον ».

Τῆς δὲ Παιονίας παρὰ τὸν Ἀξιὸν ποταμὸν στε- .. ΙΙ 99.
νήν τινα καθήκουσαν ἄνωθεν μέχρι Πέλλης καὶ Σελ 159.
θαλάσσης ἐκτήσαντο (οἱ Μακεδόνες), καὶ πέραν Ἀξι-
οῦ μέχρι Στρυμόνος τὴν Μυγδονίαν καλουμένην
Ἠδῶνας ἐξελάσαντες νέμονται.

Καὶ αὖθις ἑνὸς δεῖ τριακοστῷ ἔτει ἐλθόντες οἱ Ἀθη- .. IV. 102
ναῖοι, Ἄγνωνος τοῦ Νικίου οἰκιστοῦ ἐκπεμφθέντος Η- Σελ 301
δῶνας ἐξελάσαντες ἔκτισαν τὸ χωρίον τοῦτο, ὅπερ
πρότερον Ἐννέα ὁδοὶ ἐκαλοῦντο.

369

# Ἠδωνοί Ἠδῶνες.

Θουκ. IV 109
Σελ. 305

«Πόλεις δ' ἔχει (ὁ Ἄθως) Σάνην μὲν Ἀνδρίων ἀποικίαν . . . . . . . . . .
αἳ οἰκοῦνται ξυμμείκτοις ἔθνεσι βαρβάρων διγλώσσων, καί τι καὶ Χαλκιδικὸν ἔνι βραχύ, τὸ δὲ πλεῖστον Πελασγικόν, τῶν καὶ Λῆμνόν ποτε καὶ Ἀθήνας Τυρσηνῶν οἰκησάντων, καὶ Βισαλτικὸν καὶ Κρηστωνικὸν καὶ Ἠδῶνες· κατὰ δὲ μικρὰ πολίσματα οἰκοῦσι. καὶ οἱ μὲν πλείους προσεχώρησαν τῷ Βρασίδᾳ, Σάνη δὲ καὶ Δῖον ἀντέστη, καὶ αὐτῶν τὴν χώραν ἐμμείνας τῷ στρατῷ ἐδῄου.»

» V. 6. 4
Σελ. 4.

«Ἅμα δὲ παρεσκευάζετο (Κλέων) Θρᾷκας τε μισθωτοὺς πεντακοσίους καὶ χιλίους, καὶ τοὺς Ἠδῶνας πάντας παρακαλῶν, πελταστὰς καὶ ἱππέας»

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ